# ΟΝΟΜΑΤΑ ΚΕΧΙΑΣΜΕΝΑ



πρώτη μηνιαία αἰνιγματικὴ
ἔκδοσις τῇ ἀρχαίῃ γλώσσῃ

ἔτος 2015 - δευτέρα ἔκδωσις

ἐκδότης: Λούκας Δεσιάτα

βουλὴ τῶν ἐκδότων: Θεόδωρος

www.**MyLatinLover**.it

# ὀνόματα κεχιασμένα (ἐκ Ἰλιάδος α΄)




## ὅροι ὁμαλοί ( → )

III) … ἀλλ' ἄγε διογενὲς Πατρόκλεες _____ κούρην … (337);
VIII) … « Αἰνότατε Κρονίδη, _____ τὸν μῦθον ἔειπες … (552);
IX) … _____ , δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα … (501)
X) … Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' _____ Φοῖβος Ἀπόλλων ... (457);
XI) … οὕνεκ' ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα … (111);
XII) … αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ' ὄφρα μὴ οἶος … (118);
XIII) … ἀλλὰ κακῶς _____, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε ... (25).

## ὅροι κάθετοι ( ↓ )

I) … ἔνθα πάρος κοιμᾶθ' ὅτε μιν γλυκὺς _____ ἱκάνοι … (610)
II) … ἢ εἰ δή ποτέ τοι κατὰ _____ μηρί' ἔκηα … (40)
III) … ὡς δὴ τοῦδ' _____ σφιν ἑκηβόλος ἄλγεα τεύχει … (110);
IV) … ἔνθ' _____ μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ … (376);
V) … μᾶλλον ἐμοὶ _____ τὸ δέ τοι καὶ ῥίγιον ἔσται … (563);
VI) … « _____ κακῶν οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας … (106);
VII) … πολλὰ δὲ _____ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς … (351)

## μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος

Τίς γάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ **ΧΥΥΥ ΖΥΥΥ** · ὃ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,

(**Ἰλιάδος α΄, 8-10**)

### εὑρίσκε τὸν λόγον

εὑρίσκε τὸν κεκαλυμμένον λόγον ἐκ **Ἀ** εἰς **ὰ**, δέων γράμματα, ὡς τὸ παράδειγμα δηλοῖ

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| **Ἄ** | π | ν | ö | α | μ | ο | ἕ |
| ο | ν | ο | ρ | ς | ε | ι | ν |
| ρ | ύ | δ | μ | λ | Μ | π | ν |
| τ | α | λ | ά | ο | α | λ | ε |
| π | ο | σ | ῦ | π | ο | λ | **ὰ** |

**Παράδειγμα**

| | | | |
|---|---|---|---|
| **Κ** | λ | ἐ | ε |
| έ | ύ | ρ | ι |
| η | σ | ρ | **ν** |

( Κύριε ἐλέησον )

### προσθεσις τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, **ΧΖΖ** διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
**ΖΖ** μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος,
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

(Ὀδυσσείας α΄, 22-25)

### τὰ φωνήεντα γράμματα οὐκ ἱκανά

γράφε γράμματα ἀντὶ ἑκάστου ἀρυθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ἰλιάδος τυγχάνῃς

1 ῆ 2 ι 2 - ἄει 3 ε, - 4 εά, - 5 η 6 ηιά 3 εω - Ἀ 7 ι 6 ῆο 8 -
οὐ 6 ο 1 ἐ 2 η 2, - ἣ - 1 υ 9 ἰ' - Ἀ 7 αιοῖ 8 - ἄ 6 10 ε' - ἔ 4 η 11 ε, -
5 ο 6 6 ὰ 8 - 3' - ἰ 12 4 ἰ 1 ου 8 – 13 υ 7 ὰ 8 - Ἄϊ 3 ι – 5 9 οῖα 13 ε 2 -
ἡ 9 ὠω 2, - αὐ 14 οὺ 8 – 3 ὲ - ἐ 6 ὠ 9 ια – 14 εῦ 7 ε – 11 ὑ 2 ε 15 15 ι 2 -
οἰω 2 οῖ 15 ἰ – 14 ε – 5 ᾶ 15 ι· - 3 ιὸ 8 - 3' - ἐ 14 ε 6 εἰε 14 ο – 16 ου 6 ή· -
ἐ 17 - οὗ - 3 ὴ - 14 ὰ - 5 9 ῶ 14 α – 3 ια 15 14 ή 14 η 2 - ἐ 9 ἰ 15 α 2 14 ε -
Ἀ 14 9 εΐ 3 η 8 – 14 ε - ἄ 2 α 17 - ἀ 2 3 9 ῶ 2 – 11 αὶ - 3 ῖο 8 - Ἀ 7 ι 6 6 εὐ 8.

# ζήτευσις τῶν ὀνομάτων

εὑρίσκε τὰ ὀνόματα. τὰ λοιπὰ γράμματα ποιήσονται τὸ λελοιπὸν ὄνομα.

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| α | ν | ο | σ | τ | ο | ν | π | ο | λ | ε | μ | ο | ν |
| π | α | θ | ε | ν | τ | ω | ν | ο | ρ | ν | σ | θ | α |
| η | σ | θ | ι | ο | ν | ρ | π | υ | λ | ο | α | υ | υ |
| μ | η | ν | ε | μ | ο | ι | α | λ | ι | λ | τ | μ | τ |
| ν | ι | σ | η | ι | λ | α | θ | σ | α | τ | α | ο | α |
| μ | α | λ | α | τ | ο | τ | ε | σ | ν | γ | κ | ν | ρ |
| ν | μ | ο | υ | σ | α | ε | σ | ν | δ | ο | χ | ς | α |
| ν | ι | σ | ι | ο | τ | α | σ | υ | ρ | ρ | ε | θ | μ |
| ω | λ | γ | ε | ν | ν | ε | π | ε | α | ν | ι | μ | η |

**Ἄνδρα** μοι **ἔννεπε, Μοῦσα**, πολύτροπον, ὃς **μάλα πολλὰ**
**πλάγχθη**, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
πολλῶν δ’ ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον **ἔγνω**,
πολλὰ δ’ ὅ γ’ ἐν πόντῳ **πάθεν** ἄλγεα ὃν **κατὰ θυμόν**,
__________ ἥν τε ψυχὴν καὶ νόστον **ἑταίρων**.
ἀλλ' οὐδ' ὧς ἑτάρους **ἐρρύσατο**, ἱέμενός περ·
αὐτῶν γὰρ σφετέρῃσιν **ἀτασθαλίῃσιν ὄλοντο**,
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
**ἤσθιον·** **αὐτὰρ** ὁ **τοῖσιν** ἀφείλετο **νόστιμον ἦμαρ**.
**τῶν** ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ **ἡμῖν**.

ἔνθ' ἄλλοι μὲν πάντες, **ὅσοι** φύγον αἰπὺν ὄλεθρον,
οἴκοι **ἔσαν**, **πόλεμόν** τε πεφευγότες ἠδὲ **θάλασσαν**·
τὸν δ' οἶον, **νόστου** κεχρημένον ἠδὲ γυναικός,
νύμφη πότνι' ἔρυκε Καλυψώ, δῖα θεάων,
ἐν σπέεσι γλαφυροῖσι, **λιλαιομένη** πόσιν εἶναι.

**εἰκὼν κεκρυμμένη**

σύνδε σημεῖα ἐκ α εἰς ω ἳνα εἰκόνα ποιῇς







β'




(Permission requested to publisher Mamouth Comix and forwarded to the French publisher)

## Τὰ νέα ἑλληνιστὶ γεγραμμένα

**Ἤδη τὸ διακοστὸν ἔτος ἡ μάχη τοῦ Βατερλὼ ἐγένετο**
**19 Ἰουνίου 2015**



Οἱ Εὐρωπαῖοι ἄρχοντες εἰς τὸ Βατερλὼ συνέρχονται

Τῇ 18ῃ ἡμέρᾳ τοῦ μηνὸς Ἰουνίου τοῦ 1815ου ἔτους ἡ Γερμανικὴ στρατιὰ καὶ ἡ Βρετανικὴ καὶ ἡ Ὀλλανδικὴ τῷ Ναπολέοντι Βοναπάρτει ἐν τῷ Βατερλὼ ἀντικατέστησαν. ὁ Ναπολέων, ἐκ τῆς νήσου Ἔλβα ἀποφυγών, οἷ ἐπέπεμπτο, αὖθις τὴν ἀρχὴν κατεῖχεν, ὅμως δὲ αὕτη ἡ μάχη τέλος ἔθηκε τῇ καλουμένῃ "ἀρχῇ τῶν ἑκατὸν ἡμερῶν". 200,000 στρατιῶται μετέσχον ταύτης τῆς μάχης, ἐκ δὲ τούτων 70,000 ἀπέθανον (46,000 μὲν Γαλάται, 24,000 δὲ τῶν συμμάχων). ἐκείνης τῆς μάχης γενομένης, ἤρξατο ἡ Βρετανικὴ ἀρχὴ ἐν τῇ Εὐρώπῃ.
οὗτος ὁ τόπος ἐν τῷ Βελγίῳ κεῖται, τὸν δὲ βουλόμενον αὐτὸν σκοπεῖν δεῖ πρὸς τὰς Βρυξέλλας προσελθεῖν, τὸ γὰρ Βατερλὼ τυγχάνει ἀπέχον μόνον τριάκοντα χιλιόμετρα τῆς πόλεως· ἐκεῖσε μὲν πολλοὶ τῶν Εὐρωπαίων ἀρχόντων συνῆλθον χθὲς ἵνα ἀναμιμνήσκοιντο περὶ ἐκείνης τῆς ἐνδόξου μάχης, παρῆν δὲ καὶ ὁ Ἰωάννης-Χριστοφόρος Ναπολέων Βοναπάρτης, ἀπόγονος ὢν τοῦ στρατηγοῦ.
ὁ μὲν τοῦ Βελγίου πρωθυπουργός, ὁ Κάρολος Μιχαήλ, εἶπεν ὅτι "τήμερον, καίπερ περὶ μάχης τινὸς διαλεγόμενοι, τιμῶμεν τῷ ὄντι τὴν διαλλαγήν," ἡ δὲ τοῦ Βατερλὼ ἄρχουσα, ἡ Φλορένση Ῥεύτηρ, εἶπεν ὅτι ὑπολαμβάνοι 12,000 ἀνθρώπους εἰς τοῦτον τὸν τόπον ἀφίξεσθαι τοῦ τέλους τῆς ἑβδομάδος τοῦ τὸν τόπον σκοπεῖν ἕνεκα.
τί ἐγένετο ἂν ἐν τῇ Εὐρώπῃ εἰ ὁ Ναπολέων ἐνίκησεν; τοῦτό ἐστι τὸ μέγα ἐρώτημα ὃ οὐδεὶς οὐδέποτε ἀποκρίνεσθαι δυνήσεται.

Reproduced with authorisation of Juan Coderch

**Τὸ Ἰσλαμικὸν Κράτος τῆς Παλμύρας κρατεῖ**
**26 Μαίου 2015**




Τὸ μέλαν σημεῖον τοῦ Ἰσλαμικοῦ Κράτους ἐν τῇ Παλμύρᾳ

Τὸ μέλαν σημεῖον τοῦ Ἰσλαμικοῦ Κράτους (ΙΚ) ἤδη ἕστηκεν ἐν τῇ τῶν τῆς Παλμύρας ἐρειπίων ἀκροπόλει, τοῦτο δὲ ἔξεστιν ἰδεῖν ἐν ταῖς φωτογραφίαις ἃς εἰς τὰ κοινωνικὰ δίκτυα οἱ καλούμενοι "διαδικτυοναῦται" νεωστὶ εἰσέθησαν.
οἱ τοῦ ΙΚ στρατιῶται, τῆς πόλεως αἱρεθείσης, εἰς τὸ μουσεῖον εἰσέβησαν, τοῦτο γὰρ ἀεὶ τὸ πρῶτον ποιοῦσιν ἐπειδὰν πόλιν τινὰ λάβωσιν (οὐ μέντοι διὰ πρὸς τὰς Μούσας φιλίαν, ἀλλὰ τῷ ὄντι τῆς ἐπὶ αὐτὰς ἔχθρας ἕνεκα), ὅμως δὲ ὁ τῶν Μουσείων καὶ Ἀρχαίων τῆς Συρίας ὑπουργός, ὁ Μ. Abdelkarim, εἶπε διὰ τοῦ τηλεφώνου ὅτι οἱ τοῦ ΙΚ στρατιῶται μόνον ἀντιτύπους τῶν ἀληθῶν ἀγαλμάτων διαφθείρειαν (οἱ ἀντίτυποι ἔλαθον αὐτοὺς ἀντίτυποι ὄντες), πρὶν γὰρ τὸ ΙΚ εἰς τὴν Παλμύραν ἀφίκεσθαι οἱ τοῦ μουσείου ἐπιμελόμενοι, ἅτε εἰδότες τοὺς τοῦ ΙΚ εἰκότως τὰ ἀγάλματα διαφθεροῦντας, ἀντιτύπους μὲν ἐποίησαν ἃ ἐκεῖ ἀντὶ τῶν ἀληθῶν ἀγαλμάτων κατέλιπον, τὰ δὲ ἀληθῆ ἀγάλματα ἄλλοσε ἐξήνεγκον· εἶπε δὲ καὶ ὅτι τὸ ΙΚ φύλακας παρὰ τῇ εἰς τὸ μουσεῖον εἰσόδῳ ἔθηκεν.
τοῦτο μὲν ὃ περὶ τοῦ μουσείου ἴσμεν, περὶ δὲ τῶν ἐρειπίων αὐτῶν, ἃ τυγχάνει ἔξω τῆς πόλεως κείμενα, εἶπεν μὲν ὁ ὑπουργὸς ὅτι οὐκ αἴσθοιντο οὐδὲν νέον πλὴν τοῦ σημείου, ἐμέμψατο δὲ ὅτι αἱ ἄλλαι χῶραι οὐδὲν ποιήσειαν ἵνα κωλύσαιεν τὸ ΙΚ εἰς τὴν Παλμύραν εἰσελθεῖν καὶ τοῦτον τὸν ἔνδοξον ἀρχαιολογικὸν τόπον ἑλεῖν, πάντες γὰρ φοβοῦνται μὴ τὸ ΙΚ πάντας τοὺς ἀρχαιολογικοὺς θησαυροὺς διαφθείρῃ, ὃ οὐκέτι μὲν ἐποίησαν, οἷοί τ' εἰσι ποιῆσαι ὁπόταν αὐτοῖς δοκῇ.

Reproduced with authorisation of Juan Coderch

**λύσις**

## ὀνόματα κεχιασμένα

| | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| υ | | π | | ε | ξ | α | Υ | ε | | Μ | | μ |
| π | ο | ι | ο | ν | | λ | | σ | κ | α | ι | η |
| ν | | ο | | ε | κ | λ | υ | ε | | ν | | τ |
| ο | υ | ν | ε | κ | | ο | | α | υ | τ | α | ρ |
| ς | | α | | α | φ | ι | ε | ι | | ι | | ι |

**μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

Τίς γάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ **Διὸς υἱός**· ὃ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,

**πρόσθεσις τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, **τοὶ** διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
**οἱ** μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος,
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

**τὰ φωνήεντα γράμματα οὐκ ἱκανά**
γράφε γράμματα ἀντὶ ἑκάστου ἀρυθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ἰλιάδος τυγχάνῃς

Μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος
οὐλομένην, ἣ μυρί’ Ἀχαιοῖς ἄλγε’ ἔθηκε,
πολλὰς δ’ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
οἰωνοῖσί τε πᾶσι· Διὸς δ’ ἐτελείετο βουλή·
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.

.

**εὑρίσκε τὸν λόγον**

Ἄνδρα μοι ἔννεπε,
Μοῦσα, πολύτροπον,
ὃς μάλα πολλὰ

# λύσις

## ζήτευσις τῶν ὀνομάτων

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| α | ν | ο | σ | τ | ο | ν | π | ο | λ | ε | μ | ο | ν |
| π | α | θ | ε | ν | τ | ω | ν | ο | ρ | ν | σ | θ | α |
| η | σ | θ | ι | ο | ν | ρ | π | υ | λ | ο | α | υ | υ |
| μ | η | ν | ε | μ | ο | ι | α | λ | ι | λ | τ | μ | τ |
| ν | ι | σ | η | ι | λ | α | θ | σ | α | τ | α | ο | α |
| μ | α | λ | α | τ | ο | τ | ε | σ | ν | γ | κ | ν | ρ |
| ν | μ | ο | υ | σ | α | ε | σ | ν | δ | ο | χ | ς | α |
| ν | ι | σ | ι | ο | τ | α | σ | υ | ρ | ρ | ε | θ | μ |
| ω | λ | γ | ε | ν | ν | ε | π | ε | α | ν | ι | μ | η |

α ρ ν υ μ ε ν ο ς = ἀρνύμενος

## εἰκὼν κεκρυμμένη

